www.tezaurliturgic.ro

# ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ
# ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΜΕΓΑΛΟΜΑΡΤΥΡΑ
# ΓΕΩΡΓΙΟΝ ΤΟΝ ΤΡΟΠΑΙΟΦΟΡΟΝ

ἐξ ἀνεκδότου χειρογράφου· ποίημα τοῦ ἁγίου Νικοδήμου
τοῦ Ἁγιορείτου

Ψάλλεται ἐν τῇ καθ' ἡμᾶς Ἱερᾷ Μονῇ τοῦ Ὁσίου Ξενοφῶντος καθ' ἑκάστην Κυριακὴν, μετὰ τὸ πέρας τῆς Θ΄ Ὥρας καὶ πρὸ Ἑσπερινοῦ ἄνευ εἰσόδου.

Ὁ ἱερεύς·

Εὐλογητὸς ὁ Θεὸς ἡμῶν πάντοτε, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ ἀναγνώστης· Ἀμήν.

*Ψαλμὸς ρμβ΄ (142).*

Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὴν δέησίν μου ἐν τῇ ἀληθείᾳ σου, εἰσάκουσόν μου ἐν τῇ

www.tezaurliturgic.ro



δικαιοσύνῃ σου. Καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου, ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν. Ὅτι κατεδίωξεν ὁ ἐχθρὸς τὴν ψυχήν μου· ἐταπείνωσεν εἰς γῆν τὴν ζωήν μου. Ἐκάθισέ με ἐν σκοτεινοῖς ὡς νεκροὺς αἰῶνος, καὶ ἠκηδίασεν ἐπ' ἐμὲ τὸ πνεῦμά μου, ἐν ἐμοὶ ἐταράχθη ἡ καρδία μου. Ἐμνήσθην ἡμερῶν ἀρχαίων, ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις σου, ἐν ποιήμασι τῶν χειρῶν σου ἐμελέτων. Διεπέτασα πρὸς σὲ τὰς χεῖράς μου· ἡ ψυχή μου ὡς γῆ ἄνυδρός σοι. Ταχὺ εἰσάκουσόν μου, Κύριε· ἐξέλιπε τὸ πνεῦμά μου. Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον. Ἀκουστὸν ποίησόν μοι τὸ πρωῒ τὸ ἔλεός σου, ὅτι ἐπὶ σοὶ ἤλπισα. Γνώρισόν μοι, Κύριε, ὁδὸν ἐν ᾗ πορεύσομαι, ὅτι πρὸς σὲ ἦρα τὴν ψυχήν μου. Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, Κύριε, πρὸς σὲ κατέφυγον· δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου. Τὸ πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ· ἕνεκεν τοῦ ὀνόματός σου, Κύριε, ζήσεις με. Ἐν τῇ δικαιοσύνῃ σου ἐξάξεις ἐκ θλίψεως τὴν ψυχήν μου, καὶ ἐν τῷ ἐλέει σου ἐξολοθρεύσεις τοὺς ἐχθρούς μου. Καὶ ἀπολεῖς πάντας τοὺς θλίβοντας τὴν ψυχήν μου, ὅτι ἐγὼ δοῦλός σου εἰμι.

**Καὶ εὐθύς, ὑπὸ τῶν χορῶν ἐναλλάξ·**

*Ἦχος δ'.*

Θεὸς Κύριος καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου. (τετράκις)

**Εἶτα τὰ παρόντα τροπάρια·**

*Ἦχος δ'. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.*

www.tezaurliturgic.ro



Τῷ παρεστῶτι τῇ Τριάδι τῶν ὅλων, τὸν ἀστραπόμορφον Θεοῦ ἐν μεθέξει, τὸν κορυφαῖον ὄντως ἐν τοῖς μάρτυσιν, ἅγιον Γεώργιον τὸν θεόσοφον πάντες, τῇ αὐτοῦ προσδράμωμεν ἱκεσίᾳ καὶ σκέπῃ, καὶ γὰρ αὐτὸς ἰσχύει ἀληθῶς, ὡς τῷ Θεῷ, παῤῥησίας τυγχάνοντος.

Δόξα. *Ἕτερον ὅμοιον.*

Ὁ βοηθὸς τῶν προστρεχόντων ἐν πίστει, ὁ λυτρωτὴς καὶ ὁ ταχὺς ἐπακούων, ὁ τὴν ὑφήλιον αὐγάσας ἐν τοῖς ἔργοις σου, θαύμασι καὶ τέρασι, καὶ σημείοις ἐν πλείστοις, ἅγιε Γεώργιε, ἐλατὴρ τῶν δαιμόνων, μὴ ὑπερίδῃς δέησιν ἡμῶν, ἀλλ' ἐπισκέπτου ἀεὶ ταῖς πρεσβείαις σου.

Καὶ νῦν. *Θεοτοκίον.*

Οὐ σιωπήσομέν ποτε Θεοτόκε, τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι· εἰ μὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐῤῥύσατο ἐκ τοσούτων κινδύνων; τίς δὲ διεφύλαξεν ἕως νῦν ἐλευθέρους; οὐκ ἀποστῶμεν Δέσποινα ἐκ σοῦ, σοὺς γὰρ δούλους σώζεις ἀεί, ἐκ παντοίων δεινῶν.

**Ὁ ἀναγνώστης·**

*Ψαλμὸς Ν' (50).*

Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου· ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου, καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με. Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστι διὰ παντός. Σοὶ μόνῳ ἥμαρτον, καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα, ὅπως

www.tezaurliturgic.ro



ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου, καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε. Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου. Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας· τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι. Ῥαντιεῖς με ὑσσώπῳ, καὶ καθαρισθήσομαι· πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι. Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην· ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα. Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου, καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον. Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοὶ ὁ Θεός, καὶ Πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου. Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου, καὶ τὸ Πνεῦμά σου τὸ Ἅγιον μὴ ἀντανέλῃς ἀπ' ἐμοῦ. Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου, καὶ Πνεύματι ἡγεμονικῷ στήριξόν με. Διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσι. Ῥῦσαί με ἐξ αἱμάτων ὁ Θεός, ὁ Θεὸς τῆς σωτηρίας μου· ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου. Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου. Ὅτι, εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν· ὁλοκαυτώματα οὐκ εὐδοκήσεις. Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον· καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει. Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ. Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα. Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

**Εἶτα, ψάλλομεν τὸν Κανόνα τοῦ Ἁγίου·**

*Ἦχος πλ. δ΄.*

www.tezaurliturgic.ro



*Ὠδὴ α΄. Ὑγρὰν διοδεύσας.*

Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Γεώργιε μάρτυς τοῦ Ἰησοῦ, γεωργίαις θείαις, τὸ ἐπώνυμον κληρωθείς, ἡμᾶς γεωργεῖν ἀρετὰς θείας, ταῖς ἱεραῖς σου πρεσβείαις ἀξίωσον.

Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Τῷ φόβῳ Κυρίου στοιχειωθείς, ἀρετῆς ἐργάτης, πάσης ὤφθης μάρτυς Χριστοῦ· ὃν ἐμφυτευθῆναι τῇ ψυχῇ μου, ὡς τῆς σοφίας ἀρχὴν καθικέτευε.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.

Χριστοῦ τῆς ἀγάπης βέλει τρωθείς, πληρωτὴς ἐγένου, ἐντολῶν αὐτοῦ ἁπασῶν· ἀεὶ ἡμᾶς ἐνίσχυσον φυλάττειν, ὡς τῆς ἀγάπης Θεοῦ σαφὲς γνώρισμα.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὀφθαλμοὶ παιδίσκης ὥσπερ ἀεί, βλέπουσιν εἰς χεῖρας, τῆς κυρίας αὐτῆς, ἁγνή, οὕτω πρὸς σὲ βλέπομεν Κυρία, ἕως ἡμᾶς οἰκτειρήσῃς τοὺς δούλους σου.

*Ὠδὴ γ΄. Οὐρανίας ἁψῖδος.*

Ἅγιε τοῦ Θεοῦ.

Κατεφρόνησας μάρτυς, ζωῆς τιμῆς πλούτου τε, καὶ εἰς τὸ μαρτύριον χαίρων, ὡς λέων ἔδραμες· ἀλλ' ἀπροσπάθειαν, κἀμὲ ἀξίωσον ἔχειν, ἡδονῆς χρημάτων τε, καὶ δόξης πάνσοφε.

www.tezaurliturgic.ro



Ἅγιε τοῦ Θεοῦ.

Ὡς ὑπέμεινας βάρος, τὸ τῆς πλακὸς ἅγιε, οὕτως ὑπομένειν με βάρει πασῶν τῶν θλίψεων, σὺ ἐνδυνάμωσον, καὶ αἰωνίου με δόξης, μάρτυς καταξίωσον, θείαις πρεσβείαις σου.

Δόξα.

Δι' ἀγγέλου τρισμάκαρ, σὺ τοῦ τροχοῦ λέλυσαι· ἡμᾶς δὲ λιταῖς σου ἐνθέοις, κόσμου Γεώργιε, λῦσον τῆς σχέσεως, τοῦ ὡς τροχοῦ κινουμένου, καὶ στάσιν μηδέποτε, ἢ πῆξιν ἔχοντος.

Καὶ νῦν. Θεοτοκίον.

Ὡς ὁ σκῦλα εὑρίσκων, καὶ θησαυρὸν τέρπεται, οὕτως εὑρηκὼς ἐγὼ Κόρη, σὸν θεῖον ὄνομα, καὶ τὴν εἰκόνα σου, καταφυγὴν ἐν ἀνάγκαις, χαίρω ὀνομάζων σε καὶ ἀσπαζόμενος.

Διάσωσον ἀπὸ κινδύνων τοὺς πίστει σοι προσιόντας, ὅτι πάντες ἱκετικῶς πρὸς σὲ καταφεύγομεν, ὡς ἄῤῥηκτον τεῖχος ὦ ἀθλοφόρε.

Ἐπίβλεψον ἐν εὐμενείᾳ πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

**Αἴτησις παρὰ τοῦ ἱερέως· Κύριε ἐλέησον ιε' (ἀνὰ γ'). Μετὰ τὴν ἐκφώνησιν τὸ παρὸν Κάθισμα, ὑπὸ τοῦ α' χοροῦ·**

www.tezaurliturgic.ro



*Ἦχος β'. Τὰ ἄνω ζητῶν.*

Τὸ σῶμα τὸ σὸν βασάνοις παραδέδωκας, ἀγρύπνοις εὐχαῖς τὸν Κτίστην ἐξιλέωσας, τοῦ Χριστοῦ γὰρ ἔπιες τὸ ποτήριον, ἔνδοξε Γεώργιε θαυματουργέ, πρέσβευε ἀπαύστως ὑπὲρ πάντων ἡμῶν.

*Ὠδὴ δ'. Εἰσακήκοα Κύριε.*

Ἅγιε τοῦ Θεοῦ.

Σὺ μὲν ἄφλεκτος ἔμεινας, ὑπὸ τῆς ἀσβέστου μάρτυς Γεώργιε· ἐμὲ δὲ πυρὸς ἀνώτερον, τῆς ἐπιθυμίας διαφύλαξον.

Ἅγιε τοῦ Θεοῦ.

Ἀλεξάνδραν ἐφώτισας, θείᾳ ἐπιγνώσει τὸ πρῴην ἅγιε· ἡμῶν δὲ ψυχὴν νῦν φώτισον, παθῶν ἀμαυρώσει ἐκτυφλώττουσαν.

Δόξα.

Ὡς ἐπάτησας ἅγιε, χάραν διαβόλου ἐν ὑποδήμασι σιδηροῖς, οὕτως ἐνίσχυσον, κἀμὲ πατεῖν τούτου κέντρα ἅπαντα.

Καὶ νῦν. *Θεοτοκίον.*

Βασιλέα γεννήσασα, οὗ ἡ βασιλεία ἐστὶν αἰώνιος, βασιλεύειν τοῦτον αἴτησαι, ἐν ἡμῖν τοῖς δούλοις σου Βασίλισσα.

www.tezaurliturgic.ro



*Ὠδὴ ε'. Φώτισον ἡμᾶς.*

Ἅγιε τοῦ Θεοῦ.

Ἔχαιρες πιὼν νεκροφόρον μάρτυς φάρμακον, ἀλλὰ κἀμὲ πίνειν κραταίωσον, τὸ ζωηφόρον ὑπακοῆς πικρὸν φάρμακον.

Ἅγιε τοῦ Θεοῦ.

Ἔφερες ὤμοις βοῶν νεύροις μαστιγούμενος· ἡμᾶς δὲ φέρειν ἐνδυνάμωσον, ἐκ δαιμόνων βροτῶν καὶ φύσεως κάκωσιν.

Δόξα.

Ἤγειρας νεκρόν, δι' εὐχῆς σου πρὶν Γεώργιε· καὶ νῦν ψυχήν μου ἐξανάστησον, νενεκρωμένην ἐν ποικίλοις πλημμελήμασιν.

Καὶ νῦν. *Θεοτοκίον.*

Ζῶντι μοι φρουρός, καὶ ἐκλίποντι βοήθεια, καὶ κρινομένῳ ῥύστης φάνηθι, παρθενομῆτορ Μαρία, ὅπως δοξάζω σε.

*Ὠδὴ στ'. Τὴν δέησιν.*

Ἅγιε τοῦ Θεοῦ.

Ἐζώωσας σπλαγχνισθεὶς Γεώργιε, νεκρωθέντα Γλυκερίου τὸν βόα· σαῖς δὲ εὐχαῖς ζώωσον καὶ τὸν λόγον, τὸν ἐν ἐμοὶ ἀρετῆς καὶ τῆς γνώσεως, ἀγνοίᾳ τοῦ ὄντως ἀγαθοῦ,

www.tezaurliturgic.ro



νεκρωθέντα καὶ πάθεσιν ἅγιε.

Ἅγιε τοῦ Θεοῦ.

Ἐφίλησεν ὁ Χριστός σε ἅγιε, καὶ κατέστεψε δεσμοῖς ὁμιλοῦντα· ὃν ἐκτενῶς καθικέτευε μάρτυς, καταφιλῆσαι ἡμᾶς τοὺς οἰκέτας σου, ὡς πάλαι τὸν ἄσωτον υἱόν, κατανύξει βοῶντας τὸ ἥμαρτον.

Δόξα.

Τὰ ξόανα τῶν εἰδώλων πρότερον, ὡς συνέτριψας ἐντεύξει τῇ θείᾳ, οὕτω καὶ νῦν, σύντριψον ἀθλοφόρε, τὰ ἐμπαθῆ τῆς ψυχῆς μου ἰνδάλματα, προλήψεις καὶ εἴδωλα αἰσχρά, ἵνα πίστει καὶ πόθῳ δοξάζω σε.

Καὶ νῦν. *Θεοτοκίον.*

Ἀγκάλας σου καὶ μαστοὺς ὦ Δέσποινα, τῷ Υἱῷ σου μεσιτεύουσα δεῖξον· μεῖξον τοῖς σοῖς, τὰ ἐκείνου Παρθένε, Σταυρὸν καὶ λόγχην καὶ σπόγγον καὶ κάλαμον, καὶ οὕτως ἱλέωσαι αὐτόν, ἐφ᾽ ἡμῖν τοῖς πολλὰ ἁμαρτήσασιν.

Διάσωσον ἀπὸ κινδύνων τοὺς πίστει σοὶ προσιόντας, ὅτι πάντες ἱκετικῶς πρὸς σὲ καταφεύγομεν, ὡς ἄῤῥηκτον τεῖχος ὦ ἀθλοφόρε.

Ἄχραντε, ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως, ἐπ᾽ ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον, ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

www.tezaurliturgic.ro



**Αἴτησις παρὰ τοῦ ἱερέως· Κύριε ἐλέησον ιε΄ (ἀνὰ γ΄). Μετὰ τὴν ἐκφώνησιν τὸ παρὸν Κοντάκιον, ὑπὸ τοῦ β΄ χοροῦ·**

*Ἦχος β΄. Προστασία τῶν Χριστιανῶν.*

Προστάτα τῶν πιστῶν ἀκαταίσχυντε, καὶ μεσῖτα τῶν δεομένων ἑτοιμότατε, μὴ παρίδῃς ἡμῶν τῶν δεομένων σου τὰς οἰκτρὰς φωνάς, ἀλλὰ πρόφθασον ὡς συμπαθής, καὶ ἀπάλλαξον ἡμᾶς, τῶν μαρτύρων μέγιστε Γεώργιε, πάσης κακουχίας καὶ περιστάσεως, καὶ σῶσον ἡμᾶς ταῖς ἐνθέρμοις σου πρὸς Κύριον δεήσεσιν.

**Καὶ εὐθὺς τὸ Προκείμενον, καὶ τὸ Εὐαγγέλιον·**

Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ (δίς).

*Στίχ.:* Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.

Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ.

**Ὁ ἱερεύς·**

Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι ἡμᾶς τῆς ἀκροάσεως τοῦ ἁγίου Εὐαγγελίου, Κύριον τὸν Θεὸν ἡμῶν ἱκετεύσωμεν.

**Ὁ χορός·** Κύριε ἐλέησον (τρίς).

**Ὁ ἱερεύς·**

Σοφία· ὀρθοί, ἀκούσωμεν τοῦ ἁγίου Εὐαγγελίου.
Εἰρήνη πᾶσι.

www.tezaurliturgic.ro



Ὁ χορός· Καὶ τῷ πνεύματί σου.

Ὁ ἱερεύς·

Ἐκ τοῦ κατὰ Λουκᾶν ἁγίου Εὐαγγελίου τὸ ἀνάγνωσμα. Πρόσχωμεν.

Ὁ χορός· Δόξα σοι Κύριε, δόξα σοι.

Ὁ ἱερεύς·

*(Λουκ. κα΄, 12-19)*

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· προσέχετε ἀπὸ τῶν ἀνθρώπων, ἐπιβαλοῦσι γὰρ ἐφ' ὑμᾶς τὰς χεῖρας αὐτῶν καὶ διώξουσι, παραδιδόντες εἰς συναγωγὰς καὶ φυλακάς, ἀγομένους ἐπὶ βασιλεῖς καὶ ἡγεμόνας ἕνεκεν τοῦ ὀνόματός μου· ἀποβήσεται δὲ ὑμῖν εἰς μαρτύριον. Θέσθε οὖν εἰς τὰς καρδίας ὑμῶν μὴ προμελετᾶν ἀπολογηθῆναι· ἐγὼ γὰρ δώσω ὑμῖν στόμα καὶ σοφίαν, ᾗ οὐ δυνήσονται ἀντειπεῖν οὐδὲ ἀντιστῆναι πάντες οἱ ἀντικείμενοι ὑμῖν. Παραδοθήσεσθε δὲ καὶ ὑπὸ γονέων καὶ συγγενῶν καὶ φίλων καὶ ἀδελφῶν, καὶ θανατώσουσιν ἐξ ὑμῶν, καὶ ἔσεσθε μισούμενοι ὑπὸ πάντων διὰ τὸ ὄνομά μου· καὶ θρὶξ ἐκ τῆς κεφαλῆς ὑμῶν οὐ μὴ ἀπόληται. Ἐν τῇ ὑπομονῇ ὑμῶν, κτήσασθε τὰς ψυχὰς ὑμῶν.

Ὁ χορός· Δόξα σοι Κύριε, δόξα σοι.

*Ἦχος β΄.*

Δόξα.

Ταῖς τοῦ ἀθλοφόρου πρεσβείαις, Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

www.tezaurliturgic.ro

Καὶ νῦν.

Ταῖς τῆς Θεοτόκου πρεσβείαις, Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

*Στίχ.* Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου, ἐξάλειψον τὸ ἀνόμημά μου.

*Ἦχος πλ. β'. Ὅλην ἀποθέμενοι.*

Τῶν μαρτύρων ἥλιον, μῆλον τε νέκταρ καὶ σῖτον, ἢ ῥόδον καὶ μῦρον τε, ἢ χρυσὸν ἀδάμαντα καὶ κυπάρισσον, ἀετὸν λέοντα, καὶ ἅπαν ἐξαίρετον, ὀνομάζω σε Γεώργιε· ὅθεν μοι δώρησαι, τούτων μυστικῶς τὰς ποιότητας, εὐχαῖς σου ἐνισχύων με, καὶ ὑψοποιῶν καὶ πλουτίζων με, μυρίζων καὶ τρέφων, εὐφραίνων καὶ λαμπρύνων με ἀεί, καὶ ὡς φρουρόν μου γεραίρω σε, ἐν παντὶ τῷ βίῳ μου.

Οὐδεὶς προστρέχων ἐπὶ σοί, κατησχυμμένος ἀπὸ σοῦ ἐκπορεύεται, Γεώργιε Τροπαιοφόρε, ἀλλ' αἰτεῖται τὴν χάριν, καὶ λαμβάνει τὸ δώρημα, πρὸς τὸ συμφέρον τῆς αἰτήσεως.

Μεταβολὴ τῶν θλιβομένων, ἀπαλλαγὴ τῶν ἀσθενούντων ὑπάρχων ἀθλοφόρε Κυρίου, σῶζε ποίμνην καὶ λαόν, τῶν πολεμουμένων ἡ εἰρήνη, τῶν χειμαζομένων ἡ γαλήνη, ὡς ἄμεσος προστάτης τῶν πιστῶν.

Ὁ ἱερεύς· Σῶσον ὁ Θεὸς τὸν λαόν σου, καὶ ὁ χορός· Κύριε ἐλέησον (ιβ'). Ὁ ἱερεύς· Ἐλέει καὶ οἰκτιρμοῖς, καὶ ὁ χορός· Ἀμήν. **Καὶ εὐθὺς τὰς λοιπὰς Ὠδὰς τοῦ Κανόνος.**

www.tezaurliturgic.ro


*Ὠδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.*

Ἅγιε τοῦ Θεοῦ.

Κεφαλὴν ὡς ἐτμήθης, ὦ Γεώργιε μάρτυς διὰ τὸν Κύριον, οὕτω σὲ ἱκετεύω, τὴν οἴησιν ψυχῆς μου, ταῖς πρεσβείαις σου ἔκτεμε, τὴν κεφαλὴν τῶν παθῶν, ὑπάρχουσαν ἁπάντων.

Ἅγιε τοῦ Θεοῦ.

Περιβόητον κόσμῳ, τὸν ἐν Λύδδῃ Ναόν σου μάρτυς ἐποίησας, φέροντά σου τὸ σῶμα· ἡμᾶς δὲ ὄνομά σου ἐπὶ στόματι φέροντας, ναοὺς λαμπροὺς τοῦ Θεοῦ, ἀνάδειξον εὐχαῖς σου.

Δόξα.

Δουλείας ὡς ἐρρύσω, τῶν βαρβάρων τοὺς δύο νέους Γεώργιε, οὕτω παθῶν δουλείας, ἀπαλλάττων ψυχήν μου, τὸ δὲ σῶμά μου λύτρωσαι, ἐκ πηρωμάτων δεινῶν, καὶ νόσων πολυτρόπων.

Καὶ νῦν. *Θεοτοκίον.*

Χριστοῦ Μήτηρ Παρθένε, καὶ Χριστιανῶν σὺ ὑπάρχεις φιλόστοργος· διὸ ταῖς πρὸς τὸν φύσει, Υἱόν σου ἱκεσίαις, τὰ τῇ χάριτι τέκνα σου, ἡμᾶς παντοίων κακῶν, ἐξάρπασον καὶ σῶσον.

*Ὠδὴ η΄. Τὸν Βασιλέα τῶν οὐρανῶν.*

Ἅγιε τοῦ Θεοῦ.

www.tezaurliturgic.ro



Ὥσπερ τὸν νέον, πρὶν νικητὴν ἀνεδείξω ἐν τῇ πάλῃ, οὕτω ταῖς λιταῖς σου, ἡμᾶς τροπαιούχους, δεῖξον τοῦ πολεμίου.

Ἅγιε τοῦ Θεοῦ.

Ὡς σεσωσμένους, πολλοὺς Κυρίῳ προσῆξας, οὕτω μάρτυς αὐτῷ προσαγάγοις, ἡμᾶς τοὺς σοὺς δούλους, οὓς ἤθροισας ἐνταῦθα.

Εὐλογοῦμεν Πατέρα, Υἱὸν καὶ Ἅγιον Πνεῦμα, τὸν Κύριον ὑμνοῦμεν.

Προβατικήν, ὥσπερ στοὰν τὸν Ναόν σου, ὁ τῶν ὅλων ἔδειξε Δεσπότης, ἐν αὐτῷ γὰρ πάντες, οἱ ἀσθενεῖς ἰῶνται.

Καὶ νῦν. *Θεοτοκίον.*

Τὸ τῶν χαρίτων, πλήρωμα σὺ Θεοτόκε, τὸ κακῶν πλήρωμα ἐμὲ σῶσον, ἵνα σὲ δοξάζω, εἰς πάντας τοὺς αἰῶνας.

*Ὠδὴ θ'. Κυρίως Θεοτόκον.*

Ἅγιε τοῦ Θεοῦ.

Ὁρῶντες τὴν ὡραίαν, σοῦ εἰκόνα μάρτυς, ὡς Ἰουδαῖοι τὴν στήλην λυτρούμεθα, ἀπὸ παντοίων κινδύνων καὶ περιστάσεων.

Ἅγιε τοῦ Θεοῦ.

www.tezaurliturgic.ro



Λιμὴν χειμαζομένοις, ἰατρὸς νοσοῦσι, καὶ λυπουμένοις παρήγορος φάνηθι, ἡμῖν τοῖς πίστει καὶ πόθῳ, σὲ μακαρίζουσι.

Δόξα.

Προσδέχου ἀθλοφόρε, εὐμενῶς καὶ πλήρου, ταύτην ἡμῶν τὴν ἱκέσιον δέησιν, ὡς προσεδέξω τῆς χήρας, πάλαι τὸν κίονα.

Καὶ νῦν. *Θεοτοκίον.*

Παράλαβε Παρθένε, Γεώργιον τὸν μέγαν, καὶ σὺν αὐτῷ, τῷ Υἱῷ σου πρεσβεύσατε, ἵνα ῥυσθῶμεν ἐκ πάσης ὀργῆς καὶ θλίψεως.

**Τὰ Μεγαλυνάρια·**

Ἄξιόν ἐστιν ὡς ἀληθῶς, μακαρίζειν σε τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον, καὶ Μητέρα τοῦ Θεοῦ ἡμῶν. Τὴν τιμιωτέραν τῶν Χερουβείμ, καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον σὲ μεγαλύνομεν.

Ἄξιόν ἐστιν ὡς ἀληθῶς, μακαρίζειν σε τὸν τροπαιοῦχον, τὸν ἀειμακάριστον καὶ θεοκόσμητον, καὶ προστάτην καὶ φρουρὸν ἡμῶν· τὸν ἐκλελεγμένον ἐν τοῖς πιστοῖς, καὶ δεδοξασμένον, παρὰ πᾶσι τοῖς ἀθληταῖς, τὸν ἀδιαλείπτως Θεῷ παρεστηκότα, Γεώργιον τὸν μέγαν ὕμνοις τιμήσωμεν.

www.tezaurliturgic.ro



**Καὶ τὰ Μεγαλυνάρια τῆς Μονῆς·**

Ἄστρον ἀνατέταλκε φαεινόν, ἐκ τῆς Καππαδόκων, ὁ πολύαθλος τοῦ Χριστοῦ, μάρτυς καὶ φωτίζει, πιστῶν ἅπαν τὸ πλῆθος, Γεώργιος ὁ μέγας, ὃν νῦν γεραίρομεν.

Τὸν μέγαν ὁπλίτην καὶ ἀθλητήν, τὸν στεφανηφόρον καὶ ἐν Μάρτυσι θαυμαστόν, τὸν λόγχῃ τρωθέντα, πλευρὰν ὡς ὁ Δεσπότης, Δημήτριον τὸν θεῖον, ὕμνοις τιμήσωμεν.

Χαίροις τῶν ὁσίων ὁ μιμητής, καὶ Ἄθωνος Ὄρους, ὁ λαμπρότατος οἰκιστής, Ξενοφῶν πατέρων, ὡράϊσμα καὶ κλέος, ἡμῶν δὲ προστασία, καὶ τεῖχος ἄρρηκτον.

Τῆς Θεολογίας τὸν ἀρχηγόν, τὸν ἠγαπημένον Ἰωάννην καὶ μαθητήν, τὸν ἐπὶ τὸ στῆθος, Χριστοῦ ἀναπεσόντα, τὸν μέγαν Θεολόγον, ὕμνοις τιμήσωμεν.

Δεῦτε τῆς Τριάδος τὸν ἐραστήν, καὶ Χριστοῦ τὸν μέγαν στρατιώτην καὶ ἀθλητήν, τὸν θερμὸν προστάτην, τῶν Ὀρθοδόξων πάντων, Τρύφωνα τὸν γενναῖον, ὕμνοις τιμήσωμεν.

Φύλαττε καὶ σκέπε ταῖς σαῖς λιταῖς, Χαράλαμπες μάρτυς ὡς τὴν χάριν ταύτην λαβών, ἡμᾶς ἐκ παντοίων, νόσων ὀλεθρίων, καὶ λοιμικοῦ θανάτου, πάντας λυτρώσασθαι.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι Πάντες, μετὰ τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν, εἰς τὸ σωθῆναι ἡμᾶς.

www.tezaurliturgic.ro



**Εἶτα, τὸ** Τρισάγιον. Δόξα. Καὶ νῦν. Παναγία Τριάς. Δόξα. Καὶ νῦν. Πάτερ ἡμῶν. Ὅτι σοῦ ἐστίν· **καὶ τὰ Τροπάρια·**

*Ἦχος πλ.β΄.*

Ἐλέησον ἡμᾶς Κύριε, ἐλέησον ἡμᾶς· πάσης γὰρ ἀπολογίας ἀποροῦντες, ταύτην σοι τὴν ἱκεσίαν, ὡς Δεσπότῃ, οἱ ἁμαρτωλοὶ προσφέρομεν· ἐλέησον ἡμᾶς.

Δόξα.

Κύριε, ἐλέησον ἡμᾶς· ἐπὶ σοὶ γὰρ πεποίθαμεν. Μὴ ὀργισθῇς ἡμῖν σφόδρα, μηδὲ μνησθῇς τῶν ἀνομιῶν ἡμῶν· ἀλλ' ἐπίβλεψον καὶ νῦν ὡς εὔσπλαγχνος καὶ λύτρωσαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν· σὺ γὰρ εἶ Θεὸς ἡμῶν, καὶ ἡμεῖς λαός σου· πάντες ἔργα χειρῶν σου, καὶ τὸ ὄνομά σου ἐπικεκλήμεθα.

Καὶ νῦν. *Θεοτοκίον.*

Τῆς εὐσπλαγχνίας τὴν πύλην ἄνοιξον ἡμῖν εὐλογημένη Θεοτόκε· ἐλπίζοντες εἰς σέ, μὴ ἀστοχήσωμεν· ῥυσθείημεν διὰ σοῦ τῶν περιστάσεων. Σὺ γὰρ εἶ ἡ σωτηρία τοῦ γένους τῶν Χριστιανῶν.

**Ἡ ἐκτενὴς παρὰ τοῦ ἱερέως.** Κύριε ἐλέησον **(τρίς, 40άκις ἀνὰ ι΄, καὶ τρίς), καὶ ἡ Ἀπόλυσις ὑπὸ τοῦ ἱερέως, μεθ' ἣν ψάλλομεν τὰ ἑπόμενα τροπάρια·**

www.tezaurliturgic.ro



*Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου σε νεκρόν.*

Δεῦτε ἱερέων ὁ χορός, καὶ τῶν μοναστῶν αἱ ἀγέλαι, τῶν Ὀρθοδόξων πληθύς, δεῦτε καὶ προσπέσωμεν ἐν κατανύξει πολλῇ, τὴν εἰκόνα ἀσπαζόμενοι τοῦ μάρτυρος ὄντως, κλίνοντες τὰ γόνατα πρὸς αὐτὸν εἴπωμεν· Ἅγιε Γεώργιε μάρτυς, σκέπε φρούρει φύλαττε πάντας· σὺ γὰρ ἡ κρηπὶς τῶν ἀθλοφόρων τε.

*Θεοτοκία.*

Δέσποινα πρόσδεξαι, τὰς δεήσεις τῶν δούλων σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Τὴν πᾶσαν ἐλπίδα μου, εἰς σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

Ἐκ παντοίων κινδύνων τοὺς δούλους σου φύλαττε, εὐλογημένη Θεοτόκε, ἵνα σὲ δοξάζωμεν τὴν ἐλπίδα τῶν ψυχῶν ἡμῶν.

Τῇ πρεσβείᾳ Κύριε πάντων τῶν Ἁγίων καὶ τῆς Θεοτόκου, τὴν σὴν εἰρήνην δὸς ἡμῖν, καὶ ἐλέησον ἡμᾶς, ὡς μόνος Οἰκτίρμων.

**Καὶ ὁ Ἱερεύς·**

Δι' εὐχῶν τῶν ἁγίων Πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.